θήτω ἕως αἰῶνος [24]λεγόντων Κύριε κύριε παντοκράτωρ θεὸς 24
Ισραηλ, καὶ ὁ οἶκος Δαυιδ παιδός σου ἀνωρθωμένος ἐναντίον σου.
[25]ὅτι σύ, κύριε, ἤνοιξας τὸ οὖς τοῦ παιδός σου τοῦ οἰκοδομῆσαι 25
αὐτῷ οἶκον· διὰ τοῦτο εὗρεν ὁ παῖς σου τοῦ προσεύξασθαι κατὰ
πρόσωπόν σου. [26]καὶ νῦν, κύριε, σὺ εἶ αὐτὸς ὁ θεὸς καὶ ἐλάλησας 26
ἐπὶ τὸν δοῦλόν σου τὰ ἀγαθὰ ταῦτα· [27]καὶ νῦν ἤρξω τοῦ εὐλο- 27
γῆσαι τὸν οἶκον τοῦ παιδός σου τοῦ εἶναι εἰς τὸν αἰῶνα ἐναντίον
σου· ὅτι σύ, κύριε, εὐλόγησας, καὶ εὐλόγησον εἰς τὸν αἰῶνα.
[1]Καὶ ἐγένετο μετὰ ταῦτα καὶ ἐπάταξεν Δαυιδ τοὺς ἀλλοφύλους 18
καὶ ἐτροπώσατο αὐτοὺς καὶ ἔλαβεν τὴν Γεθ καὶ τὰς κώμας αὐτῆς
ἐκ χειρὸς ἀλλοφύλων. [2]καὶ ἐπάταξεν τὴν Μωαβ, καὶ ἦσαν Μωαβ 2
παῖδες τῷ Δαυιδ φέροντες δῶρα. [3]καὶ ἐπάταξεν Δαυιδ τὸν Αδρα- 3
αζαρ βασιλέα Σουβα Ημαθ πορευομένου αὐτοῦ ἐπιστῆσαι χεῖρα
αὐτοῦ ἐπὶ ποταμὸν Εὐφράτην. [4]καὶ προκατελάβετο Δαυιδ αὐτῶν 4
χίλια ἅρματα καὶ ἑπτὰ χιλιάδας ἵππων καὶ εἴκοσι χιλιάδας ἀνδρῶν
πεζῶν· καὶ παρέλυσεν Δαυιδ πάντα τὰ ἅρματα καὶ ὑπελίπετο ἐξ
αὐτῶν ἑκατὸν ἅρματα. [5]καὶ ἦλθεν Σύρος ἐκ Δαμασκοῦ βοηθῆσαι 5
Αδρααζαρ βασιλεῖ Σουβα, καὶ ἐπάταξεν Δαυιδ ἐν τῷ Σύρῳ εἴκοσι
καὶ δύο χιλιάδας ἀνδρῶν. [6]καὶ ἔθετο Δαυιδ φρουρὰν ἐν Συρίᾳ τῇ 6
κατὰ Δαμασκόν, καὶ ἦσαν τῷ Δαυιδ εἰς παῖδας φέροντας δῶρα.
καὶ ἔσῳζεν κύριος τὸν Δαυιδ ἐν πᾶσιν, οἷς ἐπορεύετο. [7]καὶ ἔλαβεν 7
Δαυιδ τοὺς κλοιοὺς τοὺς χρυσοῦς, οἳ ἦσαν ἐπὶ τοὺς παῖδας Αδρα-
αζαρ, καὶ ἤνεγκεν αὐτοὺς εἰς Ιερουσαλημ. [8]καὶ ἐκ τῆς μεταβηχας 8
καὶ ἐκ τῶν ἐκλεκτῶν πόλεων τῶν Αδρααζαρ ἔλαβεν Δαυιδ χαλκὸν
πολὺν σφόδρα· ἐξ αὐτοῦ ἐποίησεν Σαλωμων τὴν θάλασσαν τὴν
χαλκῆν καὶ τοὺς στύλους καὶ τὰ σκεύη τὰ χαλκᾶ. [9]καὶ ἤκουσεν 9
Θωα βασιλεὺς Ημαθ ὅτι ἐπάταξεν Δαυιδ τὴν πᾶσαν δύναμιν Αδρα-
αζαρ βασιλέως Σουβα, [10]καὶ ἀπέστειλεν τὸν Ιδουραμ υἱὸν αὐτοῦ 10
πρὸς τὸν βασιλέα Δαυιδ τοῦ ἐρωτῆσαι αὐτὸν τὰ εἰς εἰρήνην καὶ
τοῦ εὐλογῆσαι αὐτὸν ὑπὲρ οὗ ἐπολέμησεν τὸν Αδρααζαρ καὶ ἐπά-
ταξεν αὐτόν, ὅτι ἀνὴρ πολέμιος Θωα ἦν τῷ Αδρααζαρ, καὶ πάντα

23 εως αιωνος] + και ποιησον καθως ελαλησας (24) και πιστωθητω και μεγαλυνθητω το ονομα σου εως αιωνος *L* compl. || 24 θεος BS†] θεε compl., pr. ο A rel. | ο οικος] ο > BS || 25 κυριε > BS† | του $2^{0}$ > A† || 26 αυτος ο] tr. S†, ο > B || 27 ηρξαι B† | του $1^{0}$ > B† | ευλογησαι] -γιν S† | κυριε > BS†

18 2 μωαβ $2^{0}$] -βιται A || 3 αδρααζαρ: sic B hic et in 5. 7—10; A ubique αδραζαρ; S in 7—10 et $S^{c}$ in 5 αδραζαρ, sed S† in 3 αδραζαρει, S*† in 5 αδραζα; cf. 19 16 || 4 αυτων $1^{0}$] -τω SAV† | πεζων > BS | εκατον] εικοσι S*† || 5 δαυιδ > BS† | και ult. > S || 6 δαμασκω S† | εσωσεν S: item A† in 13 | τον > B || 7 δαυιδ] post χρυσ. tr. S† || 8 μεταβηχας BS†] ματεβεθ A | πολεων] -εμων BS† | των $2^{0}$] τω S† || 9 θωα] θοου A: item in 10 || 10 ιδουραμ S†] -ρααμ B†, δουραμ AV†, αδουραμ mu.